## Τὸ ιδ^ον κεφ. περὶ δικαιοσύνης θεωρεῖται

1. τί ἐστιν· ὅτι δικαιοσύνη ἐστὶν ἕξις ἀφ᾽ ἧς πρακτικοὶ τῶν δικαίων εἰσί, ἀφ᾽ ἧς δικαιοπραγοῦσι καὶ βούλονται τὰ δίκαια.

2. ποσαχῶς διαιρεῖται· ὅτι διχῶς·

ἡ μὲν κοινή· περὶ ἧς θεωρεῖται

1. τί ἐστιν· ὅτι δικαιοσύνη κοινή ἐστι, τὸ πειθαρχεῖν πᾶσι τοῖς πρὸς σωτηρίαν τῆς κοινωνίας κειμένοις νόμοις. αὕτη ἡ δικαιοσύνη περιέχει πάσας τὰς ἀρετάς· περὶ ταύτης ἡ παροιμία·
   ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ᾽ ἀρετή ᾽στι.
2. τὸ ὑποκείμενον περὶ ὅ· πάντα τὰ νόμιμα.

ἡ δὲ μερική· περὶ ἧς θεωρεῖται

1. τί ἐστιν· ὅτι μερικὴ δικαιοσύνη ἐστὶν ἀρετὴ περὶ τὰς διανομὰς καὶ τὰ συναλλάγματα, ἧς τὸ μέσον ἐστί, μηδένα πλέον ἑαυτῷ τῶν ἀγαθῶν νέμειν, τῷ δὲ ἑτέρῳ ἔλασσον, ἢ ἔλασσον ἑαυτῷ τῶν κακῶν νέμειν, τῷ δὲ ἑτέρῳ πλέον· τοσοῦτον δὲ ὅσον δεῖ.
2. ποσαχῶς διαιρεῖται· ὅτι διχῶς·

ἡ μὲν διανεμητική· περὶ ἧς θεωρεῖται

1. τί ἐστιν· ὅτι διανεμητικὴ δικαιοσύνη ἐστίν, ἥτις ἐν ταῖς διανομαῖς ἑκάστῳ κατὰ τὸ ἀξίωμα αὐτοῦ καὶ κατὰ τὴν ἰσότητα τῶν πραγμάτων τὰ αὐτοῦ δίδωσι.
2. τὸ ὑποκείμενον περὶ ὅ· ἐστὶ τιμή, ἔπαθλα, ζημίαι καὶ ταῦτα.
3. ἡ ἀναλογία ἐστὶν ἡ γεωμετρική· ἐπεὶ γὰρ σκοπεῖ οὐ μόνον τὰ πράγματα, ἀλλὰ καὶ τῶν προσώπων τὰ ἀξιώματα.

ἡ δὲ συναλλακτική· ἥτις ἐν τοῖς συναλλάγμασιν ἑκάστῳ τὰ αὐτοῦ δίδωσιν ἄνευ προσωποληψίας. θεωρεῖται δὲ αὐτῆς

1. τὸ ὑποκείμενον περὶ ὅ· τὰ δὲ πράγματα περὶ ὧν συνθῆκαι γίνονται καὶ συναλλάγματα. ὠνήσεις καὶ πράσεις.
2. ἐν ταύτῃ τῇ δικαιοσύνῃ τὸ μέσον γίνεται κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν, ἀφορῶμεν γὰρ μόνον πρὸς τὴν τῶν πραγμάτων ἰσότητα.

3. τὸ ἀκόλουθον αὐτῆς δίκαιον· περὶ οὗ τὸ ιε^ον κεφ.